# eE04.1 ὁ θησαυρός

Äsop (-6. Jh.) ist der Autorename für viele Fabeln und Lehrgeschichten geworden, die z. T. erst in der römischen Kaiserzeit entstanden sind. Die Griechen liebten es, Werke einer literarischen Gattung einem vermeintlichen Ursprungsautor zuzuordnen. So ist es auch mit Homer, unter dessen Namen die Epen in Hexametern, das sind die alten Helden- und Gründungssagen griechischer Städte, subsumiert wurden.

Fassung in leichtem Griechisch

## Γεωργὸς καὶ παῖδες αὐτοῦ

Ἀνὴρ γεωργὸς γιγνώσκει,
ὅτι μέλλει ἀποθνῄσκειν,
καὶ ἐπεὶ βούλεται τοὺς αὐτοῦ παῖδας ἐμπείρους ποιεῖν τῆς γεωργίας,
συλλέγει αὐτοὺς καὶ λέγει·
τεκνία, ἐν μιᾷ μου τῶν ἀμπέλων ὑμῖν θησαυρὸς ἀπόκειται.
οἱ δὲ μετὰ τὴν αὐτοῦ τελευτὴν ὕννας τε καὶ δικέλλας λαμβάνουσιν
καὶ πᾶσαν αὐτῶν τὴν γεωργίαν ὀρύττουσιν,
ἀλλὰ τὸν μὲν θησαυρὸν οὐχ εὑρίσκουσιν,
αἱ δὲ ἄμπελοι πολυπλασίαν τὴν φορὰν αὐτοῖς παρέχονται.
Ὁ λόγος διδάσκει, ὅτι ὁ πόνος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

Originalfassung, Nr. 42:
Γεωργὸς καὶ παῖδες αὐτοῦ
Ἀνὴρ γεωργὸς μέλλων τελευτᾶν καὶ βουλόμενος τοὺς αὐτοῦ παῖδας ἐμπείρους ποιῆσαι τῆς γεωργίας,
μετακαλεσάμενος αὐτοὺς ἔφη· τεκνία, ἐν μιᾷ μου τῶν ἀμπέλων θησαυρὸς ἀπόκειται.
οἱ δὲ μετὰ τὴν αὐτοῦ τελευτὴν ὕννας τε καὶ δικέκελλας λαβόντες πᾶσαν αὐτῶν τὴν γεωργίαν ὤρυξαν,
καὶ τὸν μὲν θησαυρὸν οὐχ εὗρον, ἡ δὲ ἄμπελος πολυπλασίαν τὴν φορὰν αὐτοῖς ἀντεδίδου.
Ὁ λόγος δηλοῖ ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

| | Medio-Passiv - Athematische Stämme | | | | Medio-Passiv Thematische Stämme | |
|---|---|---|---|---|---|---|
| | Pr. | Impf. | Pr. | Impf. | Pr. | Impf. |
| | *liege* | *lag* | *kann* | *konnte* | *will* | *wollte* |
| 1.Sg. | κεῖ-μαι | ἐ-κεί-μην | δύνα-μαι | ἐ-δυνά-μην | βούλ-ο-μαι | ἐ-βουλ-ό-μην |
| 2.Sg. | κεῖ-σαι | ἔ-κει-σο | δύνα-σαι | ἐ-δύνα-σο > ω | βούλ-ε-σαι > -ῃ | ἐ-βούλ-ε-σο > -ου |
| 3.Sg. | κεῖ-ται | ἔ-κει-το | δύνα-ται | ἐ-δύνα-το | βούλ-ε-ται | ἐ-βούλ-ε-το |
| 1.Pl. | κεί-μεθα | ἐ-κεί-μεθα | δυνά-μεθα | ἐ-δυνά-μεθα | βουλ-ό-μεθα | ἐ-βουλ-ό-μεθα |
| 2.Pl. | κεῖ-σθε | ἔ-κει-σθε | δύνα-σθε | ἐ-δύνα-σθε | βούλ-ε-σθε | ἐ-βούλ-ε-σθε |
| 3.Pl. | κεῖ-νται | ἔ-κει-ντο | δύνα-νται | ἐ-δύνα-ντο | βούλ-ο-νται | ἐ-βούλ-ο-ντο |

### Numeralia

| | *ein* | *eine* | *ein* | *kein* | *keine* | *kein* |
|---|---|---|---|---|---|---|
| Nom. | εἷς | μία | ἕν | οὐδείς | οὐδεμία | οὐδέν |
| Gen. | ἑνός | μιᾶς | ἑνός | οὐδενός | οὐδεμιᾶς | οὐδενός |
| Dat. | ἑνί | μιᾷ | ἑνί | οὐδενί | οὐδεμιᾷ | οὐδενί |
| Akk. | ἕνα | μίαν | ἕν | οὐδένα | οὐδεμίαν | οὐδέν |

### Personalpronomina

| *wir* | *ihr* |
|---|---|
| ἡμεῖς | ὑμεῖς |
| ἡμῶν | ὑμῶν |
| ἡμῖν | ὑμῖν |
| ἡμᾶς | ὑμᾶς |